


† ΕΥΚΛΕΙΔΟΥ, ΣΤΟΙΧΕΙΩΝ, ΒΙΒΛΙΟΝ Ζ :~

μονάς ἐστι, καθ' ἣν ἕκαστον τῶν ὄντων ἓν λέγεται.
ἀριθμὸς δὲ, τὸ ἐκ μονάδων συγκείμενον πλῆθος.
μέρος ἐστὶν ἀριθμὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μεί-
ζονος, ὅταν καταμετρῇ τὸν μείζονα. μέρη δὲ, ὅ-
ταν μὴ καταμετρῇ. πολλαπλάσιος δὲ ὁ μείζων
τοῦ ἐλάσσονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάσ-
σονος. ἄρτιος ἀριθμός ἐστιν, ὁ δίχα διαιρούμε-
νος. περισσὸς δὲ ὁ μὴ διαιρούμενος δίχα, ἢ
ὁ μονάδι διαφέρων ἀρτίου ἀριθμοῦ. ἀρτιάκις
ἄρτιος ἀριθμός ἐστιν, ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετ-
ρούμενος κατὰ ἄρτιον ἀριθμόν. ἀρτιάκις δὲ
περισσός ἐστιν ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος
κατὰ περισσὸν ἀριθμόν. περισσάκις δὲ περισσὸς
ἀριθμός ἐστιν, ὁ ὑπὸ περισσοῦ ἀριθμοῦ μετρούμενος κα-
τὰ περισσὸν ἀριθμόν. πρῶτος ἀριθμός ἐστιν,
ὁ μονάδι μόνῃ μετρούμενος. πρῶτοι πρὸς
ἀλλήλους ἀριθμοί εἰσιν, οἱ μονάδι μόνῃ μετρού-
μενοι κοινῷ μέτρῳ. σύνθετος ἀριθμός ἐστιν, ὁ
ἀριθμῷ τινι μετρούμενος. σύνθετοι δὲ πρὸς
ἀλλήλους ἀριθμοί εἰσιν, οἱ ἀριθμῷ τινι μετρούμε-
νοι κοινῷ μέτρῳ. ἀριθμὸς ἀριθμὸν πολλαπλασιά-
ζειν λέγεται, ὅταν ὅσαι εἰσὶν ἐν αὐτῷ μονάδες
τοσαυτάκις συντεθῇ ὁ πολλαπλασιαζόμενος, καὶ
γένηταί τις. ὅταν δὲ δύο ἀριθμοὶ πολλαπλασιά-

